# Βυζαντινή Αγιολογία με έμφαση στον βίο του Λέοντος Κατάνης

**Διδάσκων: Καθηγητής Αλέξανδρος Αλεξάκης**

**5η ενότητα: «Διάλεξη 5»**

# Κύρια σημεία του μαθήματος

Στην πέμπτη θεματική ενότητα του μαθήματος γίνεται μετάφραση και σχολιασμός του Θεοδώρητου Κύρου. Φιλόθεος Ιστορία (Μέρος Β). Ιάκωβος (Παράγραφος 9-14)

# **Λέξεις κλειδιά του μαθήματος**

Θεοδώρητος Κύρου, Φιλόθεος, Ιστορία, Ιάκωβος.

# Ακολουθεί το υπό εξέταση κείμενο

ἐπεδείξατο, τὴν ὑπὸ τῆς εὐχῆς ἀφαιρεθεῖσαν ζωὴν διὰ τῆς εὐχῆς ἀποδοὺς τῷ κειμένῳ.

**9.** Τοῦτο δὲ ἐμοίγε δοκεῖ τῇ τοῦ μεγάλου Πέτρου ἐοικέναι θαυματουργίᾳ, ὃς τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν[a] κεκλοφότας καὶ ψευσαμένους θανάτῳ παρέπεμψεν. Καὶ γὰρ οὗτος ὡσαύτως τὸν τὴν ἀλήθειαν κεκλοφότα, καὶ τῷ ψεύδει χρησάμενον ἀφείλετο τὴν ζωήν. Ἀλλ' ὁ μὲν γνοὺς τὴν κλοπήν — ἀπεκάλυψε γὰρ ἡ τοῦ πνεύματος χάρις — τὴν δίκην ἐπήγαγεν· ὁ δὲ τοῦ δράματος ἀγνοῶν τὴν ὑπόθεσιν, προσήνεγκε μὲν τὴν εὐχήν, ἔστησε δὲ τῷ πλα-
B σαμένῳ τοῦ βίου τὸν δρόμον. Καὶ ὁ μὲν θεῖος ἀπόστολος οὐκ ἔλυσε τοῖς τεθνηκόσι τὴν συμφοράν· δέους γὰρ ἔχρῃζε τοῦ σωτηρίου κηρύγματος τὰ προοίμια· ὁ δὲ τῆς ἀποστολικῆς ὑπάρχων ἀνάπλεως χάριτος καὶ ἐκόλασεν εἰς καιρὸν καὶ ἔλυσε ταχέως τὴν κόλασιν· τούτῳ γὰρ ᾔδει κερδανοῦντας τοὺς πταίσαντας. Ἀλλὰ γὰρ καὶ ἐπὶ τὰ ἄλλα ἰτέον καὶ συντόμως κἀκεῖνα ἐξηγητέον.

**10.** Ἐπειδὴ γὰρ Ἄρειος, ὁ τῆς κατὰ τοῦ μονογενοῦς καὶ τοῦ παναγίου πνεύματος βλασφημίας πατὴρ καὶ δημιουργός, κατὰ τοῦ πεποιηκότος τὴν γλῶτταν κεκινηκώς, ἐνέπλησε τὴν Αἴγυπτον θορύβου καὶ ταραχῆς, Κωνσταντῖνος δὲ ὁ μέγιστος βασιλεύς, ὁ τῆς ἡμετέρας ἀγέλης Ζοροβάβελ

**9** a. Cf. Act. 5, 1-11

---

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

22 ἐπεδείξατο + καὶ A ‖ ὑπὸ] ὑπὲρ V ‖ εὐχῆς + ἀπὸ τῆς ψυχῆς AB 23 ἀποδοῦναι QG ἀπέδωκε A.

**9,** 1 ἐμοὶ e ‖ 2 τὴν om. PX ‖ σαπφῆραν C σαμφείραν D ‖ 3 παρέπεμπε WA ‖ 4 οὗτος om. GS ‖ τὸν om. S ‖ τὸν … κεκλοφότα (-φῶ-Ce) PCvDABe : τοῦ … κεκλοφότος q ‖ τὴν om. D ‖ 5 χρησαμένου q ‖ πεπλασμένῳ S ‖ 13-14 τούτῳ — πταίσαντας om. X ‖ 13 τούτῳ VBES : τούτου PC τοῦτο DqAT ‖ ᾔδει WABS : ἔδει PCVDQG εἴδει e ‖ κερδανοῦντας DWe : κερδανοῦντος PCV τοῦ κερδανοῦντος QG κερδανεῖν AS κερδανόντας B ‖ 14 πταίοντας e ‖ τἄλλα CX.

**10,** 1 ἐπειδὴ γὰρ om. W ‖ κατὰ τῆς ∾ CD ‖ 2 καὶ[1] + τῆς D ‖ ἁγίου We ‖ καὶ[2] om. D ‖ 3 γλῶσσαν PCVQG ‖ 5 ζωροβάβελ e

— κατ' ἐκεῖνον γὰρ τὴν τῶν εὐσεβῶν αἰχμαλωσίαν ἐκ τῆς ὑπερορίας ἅπασαν ἐπανήγαγε, καὶ τοὺς θείους νεὼς εἰς ἔδαφος ἐρριμμένους εἰς ὕψος ἀνήγειρεν[a] —, ἐπειδὴ τοίνυν C οὗτος πάντας τῶν ἐκκλησιῶν τοὺς προέδρους κατ' ἐκεῖνον τὸν καιρὸν συνήγειρεν εἰς τὴν Νίκαιαν, ἀφίκετο μετὰ τῶν ἄλλων καὶ ὁ μέγας Ἰάκωβος, τῶν ὀρθῶν ὑπερμαχήσων δογμάτων οἷά τις ἀριστεὺς καὶ πρόμαχος ἁπάσης τῆς φάλαγγος — τῆς Ῥωμαίων γὰρ ἡγεμονίας τηνικαῦτα ὑπῆρχεν ἡ Νίσιβις.

Ἐν τοίνυν τῇ μεγάλῃ συνόδῳ πολλῶν μὲν εὖ καὶ καλῶς, πολλῶν δὲ καὶ ἄλλως εἰρημένων — ἦσαν γὰρ ὀλίγοι τινὲς οἱ τἀναντία μὲν ἐφρόνουν, γυμνοῦν δὲ τὴν σφῶν οὐκ ἐθάρρουν ἀσέβειαν, ἀλλὰ δελεάσμασί

**10** a. Cf. Esd. 2, 1-2 ; 3, 1-13 ; 5, 1-17

---

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

6 γὰρ + τὸν καίρον B ‖ 7 ναοὺς PCXDW ‖ 9 οὗτος πάντας PvDqAS : οὗτος πάντων C πάντας οὗτος B ἐκεῖνος πάντας e ‖ τοὺς τῶν ἐκκλησιῶν ∾ XS ‖ 10 συνήγαγεν C ‖ τὴν om. QG ‖ 12 πάσης Xe ‖ 14 νίσηβης C νήσιβις D ‖ 15 μὲν om. PCX ‖ 16 ὀλίγοι τινὲς] τινὲς ὀλίγοι C οἱ λόγοι τινες E ‖ 17 σφῶν + αὐτῶν CW ‖ δελεάσμασί PXqBS : δελέασι CVDE δελεάμασί A δελεάσματι T

---

3. Cf. *H.E.*, I, 7 (p. 30 s.) : le concile de Nicée s'ouvrit le 20 mai 325. En fait, les chefs de l'Église n'étaient pas tous présents ; ils étaient environ trois cents (H.-I. Marrou, ap. Daniélou-Marrou, p. 292 s.). On sait que le nombre 318 (*H.E., I*, 7,3 ; p. 30, 21), qui rappelle les 318 serviteurs d'Abraham (*Gen.* 14,14) fut retenu officiellement depuis S. Hilaire en 360 ; cf. M. Aubineau, « Les 318 serviteurs d'Abraham et le nombre des Pères au concile de Nicée », dans *RHE* 61 (1966), p. 5-43 ; H. Chadwick, « Les 318 Pères du Concile », dans *RHE* 61 (1966), p. 808-811, ajoute quelques références sur le nombre des Pères ; précisons à notre tour que la version syriaque de la Vie de Jacques par Théodoret (*Brit. Mus. Add. 12174*, f. 283 r[b]) ajoute à la tradition grecque, après συνόδῳ : « 318 Pères vénérables ». — Le titre de πρόεδρος, qui est courant au v[e] s. pour désigner l'évêque et plus précisément le patriarche, est attribué indistinctement à tous les évêques par Théodoret dans sa Correspondance ; cf. Canivet, « Catégories sociales », p. 232 s.

τισι συνεκάλυπτον, οὐ πᾶσι μὲν γνωρίμοις, τοῖς δὲ ἀκριβέσι τῆς
ἀληθείας μύσταις καὶ μάλα δήλοις —, ὑπαγορεύεται μὲν ἡ κατὰ πᾶσαν
τὴν οἰκουμένην ἐπὶ τοῦ πάροντος κρατοῦσά τε καὶ κηρυττομένη τῆς
πίστεως ὁμολογία, ὑπεσημήναντο δὲ ἅπαντες, καὶ τῇ χειρὶ καὶ τῷ
D καλάμῳ οὕτω πιστεύειν καὶ φρονεῖν ὡμολόγησαν · ἀλλ' οἱ πλείους
μὲν ἄσμενοι τοῦτο ἐποίουν, ἑπτὰ δέ τινες τῆς Ἀρείου βλασφημίας
συνήγοροι τῇ μὲν γλώττῃ καὶ τῇ χειρὶ συνωμολόγησαν, ἀντιφθεγγο-
μένην δὲ τῇ γλώττῃ τὴν γνώμην ἐπέκτηντο κατὰ τὴν προφητείαν
τὴν λέγουσαν · « Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, τῇ δὲ καρδίᾳ
1301A πόρρω ἀπέχει ἀπ' ἐμοῦ[b] » καὶ κατὰ τὴν Ἱερεμίου φωνὴν τὴν διαρ-
ρήδην βοῶσαν · « Ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ
τῶν νεφρῶν αὐτῶν[c] ». Σύμφωνα δὲ τούτοις περὶ τούτων καὶ ὁ μακάριος
ἔφη Δαβίδ · « Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν
κατηρῶντο[d]. » Καὶ πάλιν · « Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ
ἔλαιον καὶ αὐτοί εἰσι βολίδες[e]. » Οὗτοι τῆς Ἀλεξανδρέων ἐπίσκοπον
τὸν μέγαν Ἀλέξανδρον παρεκάλουν οἰκτεῖραι τὸν Ἄρειον ὑπὸ πάσης
ἐκείνης ἀποκηρυχθέντα τῆς φάλαγγος · τοῦ δὲ καὶ τὸ τούτων ὕπουλον
εἰδότος καὶ τὴν ἐκείνου πονηρίαν ὑφορωμένου καὶ τούτου χάριν οὐ
δεχομένου τὴν αἴτησιν, ἄλλοι τινὲς τῶν ἁπλότητι συνεζηκότων πολλὰς
τῆς φιλανθρωπίας διεξῄεσαν εὐφημίας, ταύτῃ χαίρειν λέγοντες καὶ
B τὸν τῶν ὅλων θεόν. Ἐπειδὴ δὲ ὁ μέγας Ἀλέξανδρος τὴν ἄδικον περὶ
ἕνα φιλανθρωπίαν ἀπανθρωπίαν ὠνόμαζε, πολλῶν οὖσαν λυμαντικήν,
καὶ λώβης πρόφασιν ἔσεσθαι τοῖς ποιμνίοις ἅπασιν ἔλεγε, παρῄνει
πᾶσιν ὁ θεῖος Ἰάκωβος τῇ μὲν τῆς νηστείας χρήσασθαι κακουχίᾳ,
ἑπτὰ δὲ κατὰ ταὐτὸν ἡμέρας τὸν θεὸν ἱκετεῦσαι τὸ ταῖς ἐκκλησίαις
συνοῖσον πρυτανεῦσαι. Δεξαμένων δὲ ἁπάντων τοῦ θεσπεσίου ἀνδρὸς

**10** b. Cf. Is. 29, 13 c. Jér. 12, 2 d. Ps. 61, 5 e. Ps. 54, 22

---

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

18 μὲν] δὲ PC || 19 δῆλοι C || ὑπαγορεύεται μὲν ἡ] ὑπαγορευομένη D || 20 οἰκουμένην + ἡ D || 22 καλάμῳ + καὶ C || πιστεύειν + τε X || ὡμολόγησαν (ὁμολ. A)] ἕκαστος ὡμολόγησαν Q ἕκαστος ὡμολόγησε W || 22-23 μὲν πλείους ∾ D || 23 ἄσμενοι] ἄσμενεις P ἀσμένως εἰς C ἀσμένως VQG || ἐποίησαν E || 24 γλώσσῃ C || 24-25 ἀντιφθεγγόμενοι D || 26 ὁ λάος οὗτος ∾ e || τῇ δὲ καρδίᾳ] ἡ δὲ καρδία αὐτῶν CVQG τῇ δὲ καρδίᾳ αὐτῶν e || 28 καὶ πόρρω] πόρρω δὲ X || 29 περὶ τούτων om. A || 30 δαβὶδ ἔφη ∾ A || 32 τῆς] τῶν D || 33 ἀλιξάνδρον C || 34 τούτων τὸ ∾ e || 36 πολλὰς + τὰς e || 37 διεξίεσαν PCB || 38 τῷ ... θεῷ E || ἐπεὶ C || περὶ] παρ' W || 39 ἀπανθρωπίαν om.

τὴν εἰσήγησιν — ᾔδεσαν γὰρ αὐτὸν ἀποστολικοῖς χαρίσμασι λάμποντα —, ἐκεράννυτο μὲν ἡ νηστεία τῇ προσευχῇ · ἐψηφίζετο δὲ ταῖς ἐκκλησίαις ὁ τούτων κυβερνήτης τὸ συμφέρον. Καὶ ἐπειδὴ ἀπήντησεν ἡ κυρία, καθ' ἣν ἤλπιζον οἱ πλείους τὸν ἀλιτήριον εἰσδεχθήσεσθαι, καὶ τῆς θείας λειτουργίας ἔφθασεν ὁ καιρός, καὶ προσέμενον ἅπαντες ἰδεῖν τὸν ἀντίθεον ἐλεούμενον, τηνικαῦτα γίνεται θεῖον ὄντως καὶ C παράδοξον θαῦμα · ἐν βδελυκτοῖς γὰρ καὶ δυσώδεσι χωρίοις ὁ ἀλάστωρ ἐκεῖνος τῆς ἀπλήστου τροφῆς ἐκκρίνων τὰ περιττώματα, καὶ τὰ τούτων μετὰ τούτων ἐξέκρινε δοχεῖα. Οὕτω δὲ τῶν σπλάχνων αὐτοῦ διαλυθέντων καὶ σὺν τῇ κόπρῳ κεχωρηκότων, ἐξέπνευσεν ὁ δείλαιος παραχρῆμα καὶ τὸν αἴσχιστον ἐκεῖνον ὑπέμεινε θάνατον, τῆς δυσώδους αὐτοῦ βλασφημίας ἐν δυσώδεσι χωρίοις εἰσπραχθεὶς τὰς εὐθύνας καὶ διὰ τῆς Ἰακώβου τοῦ μεγάλου γλώττης δεξάμενος τὴν σφαγήν. Θαυμάζει μὲν οὖν ἡ θεία γραφὴ Φινεὲς τὸν ἱερέα, καὶ εἰκότως θαυμάζει, ὅτι τὸν ὀλέθρου τῷ λαῷ γενόμενον πρόξενον κατέσφαξε τὸν Ζαμβρί[f]. Διὸ καὶ ψάλλων ὁ μακάριος ἔλεγε Δαβίδ · « Ἔστη D Φινεὲς καὶ ἐξιλάσατο καὶ ἐκόπασεν ἡ θραῦσις · καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος[g]. » Ἀλλ' ὅμως ἐκεῖνος ὅπλῳ πολεμικῷ χρησάμενος, τὴν δικαίαν καὶ πολυθρύλητον ἐκείνην εἰργάσατο σφάγην · τούτῳ δὲ ἤρκεσεν ἀντὶ δόρατος καὶ ξίφους ἡ γλῶττα καὶ ἀνεῖλε τὸν ἀσεβῆ ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. Ἀπόχρη δὲ τοῦτο καὶ μόνον τῶν τῆς Ἀρείου δυσσεβείας κληρονόμων διελέγξαι τὴν ἄνοιαν. Ὁ γὰρ τοσοῦτος ἀνὴρ τῶν μὲν ὑφ' ἡμῶν πρεσβευομένων δογμάτων κῆρυξ ἦν καὶ συνήγορος · οὕτω δὲ κομιδῇ τὴν τούτων ἀσέβειαν ἐβδελύττετο ὅτι καὶ τὸν ταύτης πατέρα κατηκόντισεν, ὅπλῳ τῇ γλώττῃ χρησάμενος.

1304A Ἐπειδὴ δὲ ὁ σύλλογος ἐκεῖνος ὁ ἱερὸς διελύθη καὶ τὴν οἰκίαν κατέλαβεν ἕκαστος, ἐπανῆκε καὶ οὗτος οἷά τις ἀριστεὺς νικηφόρος τοῖς τῆς εὐσεβείας τροπαίοις ἐπαγαλλόμενος.

**10** f. Cf. Nombr. 25, 6-15 g. Ps. 105, 30-31

---

PCv (= XV) Dq (= QGW) ABe (ET)S

45 ἡ — προσευχῇ] τῇ νηστείᾳ ἡ προσευχὴ Cq ‖ 46 καὶ om. X ‖ 47 κυριακὴ PCX DBeS ‖ πλεῖστοι D ‖ 49 ἐλαιούμενον T ‖ 50 θαῦμα] πρᾶγμα C ‖ 51 τροφῆς] γαστρὸς W ‖ 52 μετὰ τούτων om. B ‖ ἐκκρίνει E ‖ 53 αὐτοῦ] αὐτῶν D ‖ ἐξέπνευσεν VDQWA[pc] : ἐξέπεσεν PCXGA[ac]BeS ‖ 56 γλώσσης A ‖ 57 σφαγήν] πληγήν e ‖ γραφὴ + τὸν WA ‖ τὸν ἱερέα om. W ‖ 58 τῷ om. PXES ‖ γινόμενον XS ‖ 59 ζαμβρὶν C ζαμβρὴ VDS ‖ ψάλλων — Δαβίδ] ψάλλων ἔλεγεν ὁ μακάριος Δαβίδ ∾ DWA ὁ ψάλλων ἔλεγεν e ‖ ἔστη] ἔστι P καὶ ἔστη C ‖ 61 εἰς — αἰῶνος om. X ‖ 62-63 ἐκείνην τὴν δικαίαν καὶ πολυθρύ-

**11.** Χρόνου δὲ διελθόντος ὁ μὲν μέγας ἐκεῖνος καὶ θαυμάσιος βασιλεὺς μετὰ τῶν τῆς εὐσεβείας στεφάνων ὑπεξῄει τὸν βίον · οἱ δὲ ἐκείνου παῖδες τὴν ἡγεμονίαν ἐκληρονόμουν. Τότε ὁ Περσῶν βασιλεύς — Σαβώρης δὲ τούτῳ ὄνομα ἦν —, καταφρονήσας τῶν παίδων ὡς οὐ τὰ αὐτὰ τῷ πατρὶ δυναμένων, ἐπεστράτευσε τῇ Νισίβει παμπόλλῃ μὲν ἵππῳ, παμπόλλῃ δὲ πεζῇ στρατιᾷ. Ἦγε δὲ καὶ ἐλέφαντας ὅτι πλείστους. Καὶ διελὼν ὡς εἰς πολιορκίαν τὴν στρατιὰν περιεκάθισε κύκλῳ, καὶ μηχανήματα ἵστη, καὶ τύρσεις ἀνῳκοδόμει καί, σταυρώματα καταπηγνὺς καὶ
B τὰ μέσα τούτων φορμηδὸν περιφράττων τοῖς κλάδοις, ἐκέλευε προσχοῦν τοὺς στρατιώτας, καὶ πύργους ἀντεγείρειν τοῖς πύργοις. Εἶτα ἐκεῖ τοὺς τοξότας ἀναβιβάζων καὶ ἀφιέναι κατὰ τῶν ἐπὶ τοῦ τείχους ἑστηκότων τὰ βέλη κελεύων, ἄλλους κάτωθεν ὑπορύττειν τὸ τεῖχος ἐκέλευεν. Ὡς δὲ ἄπρακτα ἅπαντα ἐγίνετο τῇ τοῦ θεσπεσίου ἀνδρὸς διαλυόμενα προσευχῇ, τέλος τοῦ παραρρέοντος ποταμοῦ τὸ ῥεῦμα τῇ πολυχειρίᾳ κωλύσας καὶ τῇ ἀποτειχίσει κεκωλυμένον τοῦ ποταμοῦ ὅτι πλεῖστον συναθροίσας, ἐπαφῆκεν ἀθρόον κατὰ τοῦ τείχους, οἱόν τινι μηχανήματι τούτῳ σφοδροτάτῳ χρησάμενος. Τὸ δὲ οὐκ ἤνεγκε τὴν τοῦ ὕδατος ἐμβολήν, ἀλλὰ τῇ ῥύμῃ κατασεισθὲν ἄρδην ἅπαν τὸ

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

**11,** 1 χρόνου δὲ διελθόντος i.m. $T^1$ ‖ 2 θαυμαστὸς VQGT ‖ 3 τὴν + τῆς οἰκουμένης q (i.m. $G^1$) ABS ‖ τῆς ἡγεμονίας D ‖ 4 σαβώρης XDGQABe : σαβόρης PCV σαβώρις W σαπώρης S ‖ δὲ om. CDGWS ‖ 5 τούτῳ ὄνομα DWABE : ὄνομα τούτῳ ∾ CPXTS ὄνομα τοῦτο VQG ‖ ὡς supra lineam $G^1$ ‖ 5-6 ταὐτὰ De ‖ 6 ἐπιστρατεύει B ‖ τῇ νισίβει vBS : τῇ νισίβῃ PE τῇ νησίβῃ CD τῷ νισίβει q τῇ νίσιβι A τῇ νισήβει T ‖ 6-7 παμπόλλῃ μὲν ἵππῳ VDqAB : παμπόλλην μὲν ἄγων ἵππων P παμπόλλην μὲν ἵππων C παμπόλλην μὲν ἄγων ἵππον XS παμπόλλῃ ἵππῳ E παμπολλὴν ἄγων μὲν ἵππον T ‖ 7 παμπόλλῃ δὲ πεζῇ στρατιᾷ VqAB : παμπολλὴν δὲ πεζὴ στρατεῖαν P παμπολλὴν πεζῇ στρατιάν C παμπολλὴν δὲ πεζὴν στρατιάν XS παμπόλῃ δὲ πέζῃ στρατείᾳ DE παμπολλὴν δὲ πεζῇ στρατιάν T ‖ ἦγε] εἶχε PCXS ‖ 9 περιεκάθησε CE περιεκάθιζεν DB παρεκαθέζετο W ‖ 10 περιπηγνὺς DWAe ‖ 12 ἐκέλευσεν VW ‖ τοῖς στρατιώταις DTS ‖ ἀνεγείρειν PCX ‖ 13 τοξότας] στρατιώτας X ‖ 14 ἀφῆναι e ‖ 15 ἄλλοις PCXD

κατ᾽ ἐκεῖνο τὸ μέρος κατέπεσεν. Οἱ δὲ μέγα ἐβόησαν, ὡς εὐαλώτου γενομένου τοῦ ἄστεως · τὸ γὰρ μέγα τεῖχος C τῶν ἐνοικούντων ἠγνόουν. Ἀνεβάλλοντο δὲ ὅμως τὴν προσβολήν, ἄβατον ὁρῶντες ὑπὸ τῶν ὑδάτων γενομένην τὴν πόλιν. Πόρρω τοίνυν ὑποχωρήσαντες, ὡς τοῦ πόνου σφίσι λωφήσαντος, αὐτοί τε διανεπαύοντο, καὶ τοὺς ἵππους ἐθεράπευον. Οἱ δὲ τὴν πόλιν οἰκοῦντες εἰς ἱκετείας σπουδαιοτέρας ἐτρέποντο, πρεσβευτὴν ἔχοντες τὸν μέγαν Ἰάκωβον · οἱ δὲ ἐν ἡλικίᾳ πάντες ἀνῳκοδόμουν σπουδῇ, οὔτε κάλλους, οὔτε ἁρμονίας ἐπιμελούμενοι, ἀλλὰ πρὸς τὸ τυχὸν ἅπαντα συντιθέντες, καὶ λίθους, καὶ πλίνθους, καὶ ὅ τι ἄν τις ἐκόμιζεν · καὶ ἐν μιᾷ νυκτὶ προὔβη τὸ ἔργον, καὶ τοσοῦτον ἔλαβεν ὕψος ὅσον ἀπόχρη διακωλῦσαι καὶ τῶν ἵππων τὸν δρόμον καὶ τῶν ἀνδρῶν τὴν ἄνευ κλιμάκων ἐπίβασιν. Τότε πάντες ἱκετεύουσι τὸν τοῦ θεοῦ ἄνθρωπον φανῆναί τε ἐπὶ D τοῦ τείχους καὶ ἀραῖς κατατοξεῦσαι τοὺς πολεμίους. Ὁ δὲ ἐπείθετο καὶ ἀνήει καί, τὰς πολλὰς αὐτῶν θεασάμενος μυριάδας, σκνιφῶν αὐτοῖς καὶ κωνώπων ἐπιπέμψαι νέφος ἱκέτευσε τὸν θεόν. Καὶ ὁ μὲν ἔλεγεν, ὁ δὲ ἔπεμπε, Μωϋσῇ παραπλησίως πειθόμενος[a]. Καὶ οἵ τε ἄνδρες τοῖς θείοις

**11** a. Cf. Ex. 8, 12-16 ; 10, 1-20

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

23 τὸ om. vqABTS || ἐβόων PCvQGS || 28 σφίσι λωφήσαντος] σφησὶν λοφήσαντος PC σφίσι λωφήσοντος Q σφίσι λωφίσαντος A λοφήσαντος σφίσιν B || 29 ἱκετίας P ἱκεσίας CX || 29-30 σφοδροτέρας S || 31 ἀνῳκοδόμουν+ἐν e || 32 ἐπιμελούμενοι] om. A add. i.m. $A^2$ || πάντα D || 33 πλίνθους καὶ λίθους ∾ D || πλήνθους C || 34 προέβη D || 36 κλίμακος e || 37 τε om. VS || 39 ἐπείθετο καὶ ἀνήει (ἀνίει PGe ἀνίη C)] πεισθεὶς ἀνήει S || 40 σκνιφῶν PvQGAB ($B^1$ scr. π supra litt. φ) eS : σκηφῶν C σκνιπῶν DW || σκνιφῶν+μὲν XT || 41 ἱκέτευε XQW || μωϋσεῖ AE μωσῇ PCvG (ει scr. supra η $G^1$) $W^{ac}$ μωυσῇ $DW^{pc}$BTS μωσεῖ Q

κατετιτρώσκοντο βέλεσιν, οἵ τε ἵπποι καὶ οἱ ἐλέφαντες, τὰ δεσμὰ διαρρήξαντες, ἐδραπέτευον τῇδε κἀκεῖσε σκεδαννύμενοι καὶ φέρειν ἐκείνας οὐ δυνάμενοι τὰς ἀκίδας.

**12.** Θεασάμενος τοίνυν ὁ δυσσεβὴς βασιλεὺς καὶ τὰ μηχανήματα ἅπαντα ὄνησιν οὐδεμίαν παρεσχηκότα, καὶ τοῦ ποταμοῦ τὴν προσβολὴν ἀνόνητον γεγενημένην — τὸ γὰρ καταπεσὸν ἀνῳκοδόμητο τεῖχος —, καὶ τὴν στρατιὰν ἅπασαν καὶ τοῖς πόνοις ταλαιπωρουμένην καὶ ὑπαίθριον
1305A κακοπαθοῦσαν καὶ ὑπὸ τῆς θεηλάτου ἐλαυνομένην πληγῆς, ἰδὼν δὲ καὶ τὸν θεῖον ἄνθρωπον ἐπὶ τοῦ τείχους βαδίζοντα, καὶ τοπάσας αὐτὸν ἐφεστάναι τῷ ἔργῳ τὸν βασιλέα — ἁλουργίδα γὰρ καὶ διάδημα περικείμενος ἑωρᾶτο —, ἠγανάκτει μὲν κατὰ τῶν ἐξαπατησάντων καὶ στρατεῦσαι πεισάντων καὶ τὸν βασιλέα μὴ παρεῖναι φησάντων. Θανάτου δὲ ψῆφον κατὰ τούτων ἐξενεγκών, διέλυσε τὴν στρατιάν καὶ τὰ οἰκεῖα βασίλεια κατέλαβεν ὅτι τάχιστα.

**13.** Τοιαῦτα καὶ ἐπὶ τοῦδε τοῦ Ἐζεκίου τεθαυματούργηκεν ὁ θεός, οὐ μείονα ἐκείνων, ἀλλὰ καὶ μείζονα, ὥς ἔμοιγε δοκεῖ. Τὸ γὰρ καὶ τοῦ τείχους καταπεσόντος μὴ ἁλῶναι τὴν πόλιν, ποίαν θαύματος ὑπερβολὴν καταλείπει ; Ἐγὼ δὲ πρὸς τούτῳ κἀκεῖνο ἄγαν θαυμάζω, ὅτι καὶ ἀραῖς χρησάμενος, οὐ σκηπτοὺς ᾔτησεν ἐνεχθῆναι καὶ κεραυνούς,

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

43 οἱ om. E.

**12,** 1 καὶ om. S || 2 πάντα PCvDQGS || 4 πεσὸν (κατα i.m. P[1]) P καταπεσὼν V || στρατείαν PDT || 5 πᾶσαν PvDQGS || καὶ[1] om. CWAB || τεταλεπωρημένην E τεταλαιπωρημένην T || 7 ἄνθρωπον] ἄνδρα D || 8 τοπάσας] add. i.m. ὑποτοπήσας P[1] || 10-11 καὶ — πεισάντων om. D || 12 ἔλυσε XS || τὴν στρατείαν PBe τὸ στράτευμα XS.

**13,** 2 οὐ μείονα ἐκείνων PvDQGS : ἄμεινον ὅμοιως (ut vid.) C οὐχ ἧττονα ἐκείνων WAB οὐ μεῖον δὲ ἐκείνων e || ἀλλὰ] εἰ μὴ De || 4 καταλείποι e || 5 τοῦτο PCABe || κἀκεῖνα AB || ἄγαν om. D

---

§ **12** 1. Dans l'*H.E.* *(l.c.)*, Théodoret nomme Constance, et Sapor croit voir l'empereur avant d'avoir essuyé l'invasion des moustiques.

B ὅπερ Ἠλίας ὁ μέγας ἐκεῖνος ἐποίησεν, ἡνίκα πρὸς αὐτὸν πεντηκόνταρχος ἑκάτερος μετὰ τῆς πεντηκοστύος ἀφίκετο[a]. Ἤκουσε γὰρ τοῦ κυρίου πρὸς Ἰάκωβον καὶ Ἰωάννην τοῦτ᾽ αὐτὸ πειραθέντας ποιῆσαι διαρρήδην εἰπόντος · « Οὐκ οἴδατε ποίου πνεύματός ἐστε[b] ; » Διὰ τοῦτο οὐ χᾶναι αὐτοῖς τὴν γῆν ᾔτησεν, οὐδὲ πυρὶ δαπανηθῆναι τὴν φάλαγγα παρεκάλεσεν, ἀλλὰ τοῖς ζωϋφίοις ἐκείνοις κατατρωθῆναι καί, τοῦ θεοῦ διαγνόντας τὴν δύναμιν, ὀψέ ποτε μεταμαθεῖν τὴν εὐσέβειαν.

**14.** Τοσαύτην εἶχεν ὁ θεῖος οὗτος ἄνθρωπος πρὸς τὸν θεὸν παρρησίαν · τοσαύτης ἄνωθεν ἀπέλαυε χάριτος. Ἐν τούτοις διατελῶν καί, καθ᾽ ἑκάστην ἐν τοῖς θείοις αὐξανόμενος ἡμέραν, μετὰ τῆς μεγίστης εὐκλείας τόνδε τὸν βίον ἀπέθετο καὶ τὴν ἐντεῦθεν ἀποδημίαν ἐστείλατο. Χρόνου δὲ διελθόντος καὶ τοῦδε τοῦ ἄστεως ὑπὸ τοῦ τηνικάδε κρατοῦντος τῇ περσικῇ βασιλείᾳ παραδοθέντος, ἐξῄεσαν μὲν ἅπαντες οἱ τὴν πόλιν οἰκοῦντες, ἔφερον δὲ τοῦ προμάχου τὸ σῶμα, ἀσχάλλοντες μὲν καὶ ὀλοφυρόμενοι τὴν μετοικίαν,

**13** a. Cf. IV Rois 1, 9-12  b. Lc 9, 55

---

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

7 ὁ μέγας ἠλίας ∾ C ‖ ἐκεῖνος ὁ μέγας ∾ D ‖ ἐκεῖνος om. vQG ‖ πρὸς αὐτὸν om. X ‖ 9 ἤκουε D ‖ ἰωάννην + τοὺς PCvQGTS ‖ 10 τοῦτ᾽ αὐτὸ WABS : τοῦτο αὐτὸ PvQGT τὸ αὐτὸ C τοῦτο D ‖ 12 χᾶναι] σχισθῆναι e ‖ ᾔτησεν] ἐποίησεν D ‖ δαπανηθῆναι] παραδοθῆναι XS ‖ 13 φάλαγγα] φλόγα e ‖ post φάλαγγα addiderat ἀλλὰ παρ᾽ ἐκείνων κατατρωθῆναι verba quae expuncta sunt B ‖ παρεκάλεσεν om. WA.

**14,** 1 ὁ θεῖος οὗτος ἄνθρωπος CXWABS : οὗτος ὁ θεῖος ἄνθρωπος PVQG ὁ θεσπέσιος καὶ θεῖος οὗτος ἄνθρωπος D οὗτος ὁ θεῖος ἀνὴρ e ‖ 2 ἀπέλαυε W : ἀπήλαυε PXDABeS ἀπήλαυσε CVG[ac] ἀπέλαυσε QG[pc] ‖ 3 καὶ om. T ‖ 3-4 αὐξόμενος X διαυξανόμενος A ‖ 4 εὐκλείας]

ᾄδοντες δὲ τοῦ νικηφόρου ἀριστέως τὴν δύναμιν. Οὐ γὰρ ἂν ἐκείνου περιόντος ὑπὸ βαρβάροις ἐγένοντο. Ταῦτα περὶ τοῦδε τοῦ θείου διεξελθὼν εἰς ἑτέραν διήγησιν μεταβήσομαι, τῆς τούτου μεταλαχεῖν εὐλογίας ἀντιβολῶν.

PCv (= XV) Dq (= QGW) ABe (= ET)S

10 νικηφόρου] μεγάλου C ‖ 11 περιόντος] παρ ὄντος (παρ add. i.m. V¹ ut vid.) V ‖ βαρβάρους WBe ‖ ἐγίνοντο C ‖ 12 εἰς+τὴν D ‖ 13 μετασχεῖν B.

---

2. Cf. ci-dessus, I, 2, 2-3, et n. 1. Cédée par Jovien après la mort de Julien (363), la ville de Nisibe supplia en vain l'empereur qui campait sous ses murs de lui permettre de se défendre contre les